Ar. 100 Καθίει: ἀντὶ τοῦ κατάφερε, ἢ ἐπίθεϲ τῷ τρυβλίῳ. ἀντὶ τοῦ χάλα αὐτά.

E 101 Καθιείϲ: ἀντὶ τοῦ καταβαλών, ἐναρξάμενοϲ. ὁ δὲ πεῖραν καθιεὶϲ καὶ ἐπιβουλεύων ἐλέγξαι πανταχόθεν τὰ τοῦ λέβητοϲ καὶ τῆϲ χελώνηϲ καὶ τοῦ ἀρνοῦ ἐν Λυδοῖϲ ἐπαλαμᾶτο.

E 102 Καθιείϲ: ἐπιπέμπων. ὁ δὲ ψευδεῖϲ ἀγγελίαϲ διὰ τῶν προϲκόπων ἀεὶ καθιεὶϲ εἴθιζεν αὐτοὺϲ ἐν κόϲμῳ πορεύεϲθαι.

Synt. 103 Καθίζω· αἰτιατικῇ.

Σ 104 Καθίκετο: καθήψατο.

Σ 105 Καθικνεῖται· γενικῇ. ἅπτεται. ὁ δὲ μίαν τῶν ϲχιζῶν ἀνε-
E λόμενοϲ καθικνεῖται τἀδελφοῦ· καὶ ὁ μὲν νεκρὸϲ ἔκειτο.

Σ+E 106 Καθικόμενοι: καθαψάμενοι. Πολύβιοϲ· πάντεϲ μὲν γὰρ οἱ βαϲιλεῖϲ καὶ φίλουϲ προϲαγορεύουϲι καὶ ϲυμμάχουϲ κοινωνήϲαντα τῶν αὐτῶν ἐλπίδων· καθικόμενοι δὲ τῶν πράξεων παραπόδαϲ οὐ ϲυμμαχικῶϲ ἀλλὰ δεϲποτικῶϲ χρῶνται τοῖϲ πιϲτεύϲαϲι.

Δ 107 Καθίκωμαι: αὐθυπότακτον.

Synt. 108 Καθιλαρύνω· δοτικῇ.

Synt. 109 Καθιλατρεύομαι· γενικῇ.

Σ 110 Καθίμηϲε: κατήντληϲε.

Σ 111 Καθιμῶϲι: χαλῶϲι. καὶ καθιμῆϲαι, χαλάϲαι ϲχοινίον, ἤ τι τοιοῦτον.

112 Καθιππάζεϲθαι: ϲυνελαύνειν, ἐρίζειν, ϲυντρέχειν. ὁ δὲ Βίων ὁ ϲοφιϲτὴϲ ποικίλοϲ ἦν, πλείϲταϲ ἀφορμὰϲ δεδωκὼϲ τοῖϲ βουλομένοιϲ καθιππάζεϲθαι φιλοϲοφίαϲ.

Hom. 113 Καθίϲτα: ἑτοίμαζε.

E 114 Καθιϲτάμενοϲ: πρὸϲ τὸ βέλτιον μετάγων. ὁ δὲ Καῖϲαρ ἐϲ τὴν Ἀϲίαν ἦλθε τὰ τῶν ὑπηκόων καὶ τῶν Πάρθων ἅμα καθιϲτάμενοϲ.
E καὶ αὖθιϲ· πολεμοῦντί τε αὐτῷ καὶ περὶ τὴν ἀρχὴν καθιϲταμένῳ ϲυγγενόμενοϲ. φηϲὶ Κρίτων ἐν Γετικοῖϲ.

E 115 Καθίϲτατο: ἐπεμελεῖτο, ἐφρόντιζεν. ὁ δὲ βαϲιλεὺϲ ἀκούϲαϲ τὰ ξυνενεχθέντα εὐθὺϲ καθίϲτατο ἐϲ τὸν πόλεμον.

Σ 116 Καθόδοιϲ: ἀγωγαῖϲ, περιόδοιϲ.

Δ 117 Καθολικῶϲ: καθόλου.